κρίσιν· σὺ δὲ ἀδελφὸς εἶ αὐτῆς, καὶ αὐτή σού ἐστιν· ὁ δὲ ἐλεήμων BA
13 θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα. [13]καὶ ἐκάλεσεν Σαρραν τὴν θυγα-
τέρα αὐτοῦ καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν τῷ Τω-
βια γυναῖκα καὶ εἶπεν Ἰδοὺ κατὰ τὸν νόμον Μωυσέως κομίζου αὐ-
14 τὴν καὶ ἄπαγε πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν αὐτούς. [14]καὶ
ἐκάλεσεν Εδναν τὴν γυναῖκα αὐτοῦ· καὶ λαβὼν βιβλίον ἔγραψεν
15 συγγραφήν, καὶ ἐσφραγίσαντο. καὶ ἤρξαντο ἐσθίειν. [15]καὶ ἐκάλεσεν
Ραγουηλ Εδναν τὴν γυναῖκα αὐτοῦ καὶ εἶπεν αὐτῇ Ἀδελφή, ἑτοί-
16 μασον τὸ ἕτερον ταμίειον καὶ εἰσάγαγε αὐτήν. [16]καὶ ἐποίησεν ὡς
εἶπεν καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσεν· καὶ ἀπεδέξατο τὰ
17 δάκρυα τῆς θυγατρὸς αὐτῆς καὶ εἶπεν αὐτῇ [17]Θάρσει, τέκνον, ὁ
κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς λύπης
σου ταύτης· θάρσει, θύγατερ.
8 [1]Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰσήγαγον Τωβιαν πρὸς αὐ-
2 τήν. [2]ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων Ραφαηλ καὶ ἔλαβεν

12 δε 1° > A || 13 σαρρα A | τω > B || 14 εσφραγισαντο] ν > A | ηρξατο B^c || 15 ραγουηλ > A† | εισαγαγε] εισαγε B† || 16 εισηγαγον A†

---

ἀδελφήν σου. ἀπὸ τοῦ νῦν σὺ ἀδελφὸς εἶ αὐτῆς καὶ αὐτὴ S
ἀδελφή σου· δέδοταί σοι ἀπὸ τῆς σήμερον καὶ εἰς τὸν αἰῶνα· καὶ
ὁ κύριος τοῦ οὐρανοῦ εὐοδώσει ὑμᾶς, παιδίον, τὴν νύκτα ταύτην
13 καὶ ποιήσαι ἐφ᾽ ὑμᾶς ἔλεος καὶ εἰρήνην. [13]καὶ ἐκάλεσεν Ραγουηλ
Σαρραν τὴν θυγατέρα αὐτοῦ, καὶ ἦλθεν πρὸς αὐτόν, καὶ λαβόμενος
τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν αὐτῷ καὶ εἶπεν Κόμισαι κατὰ
τὸν νόμον καὶ κατὰ τὴν κρίσιν τὴν γεγραμμένην ἐν τῇ βίβλῳ Μωυ-
σέως δοῦναί σοι τὴν γυναῖκα, ἔχε καὶ ἄπαγε πρὸς τὸν πατέρα
σου ὑγιαίνων· καὶ ὁ θεὸς τοῦ οὐρανοῦ εὐοδώσαι ὑμῖν εἰρήνην.
14 [14]καὶ ἐκάλεσεν τὴν μητέρα αὐτῆς· καὶ εἶπεν ἐνεγκεῖν βιβλίον καὶ
ἔγραψεν συγγραφὴν βιβλίου συνοικήσεως καὶ ὡς δίδωσιν αὐτὴν
αὐτῷ γυναῖκα κατὰ τὴν κρίσιν τοῦ Μωυσέως νόμου. ἀπ᾽ ἐκείνου
15 ἤρξαντο φαγεῖν καὶ πιεῖν. [15]καὶ ἐκάλεσεν Ραγουηλ Εδναν τὴν γυ-
ναῖκα αὐτοῦ καὶ εἶπεν αὐτῇ Ἀδελφή, ἑτοίμασον τὸ ταμίειον τὸ
16 ἕτερον καὶ εἰσάγαγε αὐτὴν ἐκεῖ. [16]καὶ βαδίσασα ἔστρωσεν εἰς τὸ
ταμίειον, ὡς εἶπεν αὐτῇ, καὶ ἤγαγεν αὐτὴν ἐκεῖ καὶ ἔκλαυσεν περὶ
17 αὐτῆς καὶ ἀπεμάξατο τὰ δάκρυα καὶ εἶπεν αὐτῇ [17]Θάρσει, θύγατερ,
ὁ κύριος τοῦ οὐρανοῦ δῴη σοι χαρὰν ἀντὶ τῆς λύπης σου· θάρ-
σει, θύγατερ. καὶ ἐξῆλθεν.
8 [1]Καὶ ὅτε συνετέλεσαν τὸ φαγεῖν καὶ πιεῖν, ἠθέλησαν κοιμηθῆναι.
καὶ ἀπήγαγον τὸν νεανίσκον καὶ εἰσήγαγον αὐτὸν εἰς τὸ ταμίειον.
2 [2]καὶ ἐμνήσθη Τωβιας τῶν λόγων Ραφαηλ καὶ ἔλαβεν τὸ ἧπαρ τοῦ

8 1 το 1°] του S^c

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1074 UNIVERSITÄT LEIPZIG